9. אֶשְׁמְעָה מַה־יְדַבֵּר הָאֵל יְהוָה. *Audiam quid loquatur Deus Jova.* Ο΄. ἀκούσομαι τί λαλήσει ÷ ἐν ἐμοὶ ◄ κύριος ὁ θεός. Ἀ. ἀκούσομαι τί λαλήσει ὁ ἰσχυρὸς κύριος. Σ. ἀκούσω τί λαλήσει ὁ θεὸς κύριος. Θ. ἀκούσομαι τί λαλήσει ὁ θεὸς κύριος.[5]

וְאֶל־חֲסִידָיו. *Et ad pios suos.* Ο΄. καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ. Ἄλλος· καὶ ἐπὶ τοὺς ἁγνοὺς αὐτοῦ.[6]

וְאַל־יָשׁוּבוּ לְכִסְלָה. *Et ne revertantur ad stultitiam.* Ο΄. καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας πρὸς αὐτὸν καρδίαν. Ἀ. Σ. ἵνα μὴ ἀποστραφῶσιν (s. ἐπιστρέψωσιν) εἰς ἀφροσύνην.[7]

13. הַטּוֹב. *Bonum.* Ο΄. χρηστότητα. Σ. τὸν ἀγαθόν.[8]

14. צֶדֶק לְפָנָיו יְהַלֵּךְ וְיָשֵׂם לְדֶרֶךְ פְּעָמָיו. *Justitia ante eum ibit, et ponet in via gressus ejus.* Ο΄. δικαιοσύνη ἐναντίον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ. Σ. δικαιοσύνη ἑκάστου προελεύσεται αὐτὸν, καὶ θήσει εἰς ὁδὸν τοὺς πόδας αὐτοῦ.[9] Aliter: Σ. . . . τὰς καταβάσεις αὐτοῦ.[10]

PSALM. LXXXV (Hebr. lxxxvi).

1. תְּפִלָּה לְדָוִד. *Oratio Davidi.* Ο΄. προσευχὴ τῷ Δαυίδ. Ἀ. Σ. προσευχὴ τοῦ Δαυίδ.[1]

2. חָסִיד אָנִי. *Pius ego sum.* Ο΄. ὅσιός εἰμι. Ἄλλος· ἁγνὸς ἐγώ.[2]

3. כִּי־אֵלֶיךָ אֶקְרָא כָּל־הַיּוֹם. *Nam ad te clamo quotidie.* Ο΄. ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν. Σ. ὅτι πρὸς σὲ βοῶ καθ᾽ ἑκάστην ἡμέραν.[3]

5. טוֹב וְסַלָּח. *Bonus et condonans.* Ο΄. χρηστὸς καὶ ἐπιεικής. Ἀ. Θ. ἀγαθὸς καὶ ἱλαστής. Σ. . . . καὶ ἀφίων.[4]

7. אֶקְרָאֶךָּ כִּי תַעֲנֵנִי. *Invocabo te, quia exaudies me.* Ο΄. ἐκέκραξα πρὸς σὲ, ὅτι εἰσήκουσάς μου. Ἀ. ἐπικαλέσομαί σε, ὅτι εἰσακούσεις μου.[5] Σ. ἐπικαλέσομαί σε, ὅτι εἰσακούσῃ μου.[6]

11. הוֹרֵנִי יְהוָה דַּרְכֶּךָ אֲהַלֵּךְ בַּאֲמִתֶּךָ. *Doce me, Jova, viam tuam, ambulabo in veritate tua.* Ο΄. ὁδήγησόν με, κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. Ἀ. φώτισόν με, κύριε, τῇ ὁδῷ σου, περιπατήσω ἐν ἀληθείᾳ σου. Σ. ὑπόδειξόν μοι, κύριε, τὴν ὁδόν σου, ἵνα ὁδεύσω τῇ ἀληθείᾳ σου.[7]

יַחֵד לְבָבִי לְיִרְאָה שְׁמֶךָ. *Unum fac cor meum, ut revereatur nomen tuum.* Ο΄. εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.[8] Ἀ. μονάχωσον τὴν καρδίαν μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Σ. ἕνωσον τὴν καρδίαν μου εἰς φόβον τοῦ ὀνόματός σου.[9]

---

[5] Nobil., Vat. Ad Theodotionem Montef. perperam edidit κύριος ὁ θεός. [6] Coislin. unus. Cf. ad Psal. xxxvi. 28. [7] Syro-hex. ܐ. ܣ. ܐܝܟܢܐ ܕܠܐ ܢܗܦܟܘܢ ܠܫܛܝܘܬܐ ◆ [8] Euthym. Zigab. ad loc.: Ὅρα πῶς ὁ Δαυὶδ προαγορεύει ὅτι ὁ μὲν πατὴρ δώσει τοῖς ἀνθρώποις τὸν υἱὸν αὐτοῦ, ὅς ἐστι χρηστότης· οὐδεὶς γὰρ ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός· καὶ γὰρ ὁ Σύμ. τὸν ἀγαθὸν εἶπεν. [9] Euseb. [10] Syro-hex. ܣ. ܡܚܬܢܘܬܐ ܕܪܓܠܗ ◆. Nisi forte vertendum καθόδους αὐτοῦ, quod vocab. Aquilae, non Symmacho, solenne est pro Hebr. פְּעָמִים.

PSALM. LXXXV. [1] Euseb., Reg. unus. [2] Coislin. (?) "Est forte Aquilae, ut supra Psal. xi. 2."—*Montef.* [3] "Σ. ὅτι πρὸς σὲ βοήσω κ.τ.έ. Sic Eusebius. Reg. autem unus ex Hesychio sic habet: ὅτι πρὸς σὲ βοῶ κ.τ.έ."—*Montef.* Euseb. non βοήσω, sed βοῶν habet. Deinde Theodoret., Nobil.: Σ. καθ᾽ ἑκάστην ἡμέραν. Syro-hex. ܣ. ܟܠ ܝܘܡ ◆. Contra horum consensum non est audiendus Euthym., qui ait: τὸ, ὅλην τ. ἡ., ἀεὶ ὁ Σύμ. ἑρμηνεύων λέγει. [4] Syro-hex. affert: Ἀ. Σ. ἀγαθὸς (ܛܒܐ) καὶ ἱλαστής (s. ἵλεως, ܡܚܣܝܢܐ). Pro Σ. correximus Θ. juxta Eusebium, qui habet: Ἀ. Θ. καὶ ἱλαστής. Σ. καὶ ἀφίων. Consentiunt Theodoret., Nobil., quorum ille: Ἀ. Θ. καὶ ἱλαστής; hic autem: Ἀ. Θ. ἱλαστής. Σ. ἀφιείς. Aliter Euthym.: τὸ ἐπιεικὴς, ἵλεως ἐξέδωκεν ὁ Ἀκ., ὁμοίως δὲ καὶ ὁ Σύμ. [5] Euseb., Reg. unus. [6] Nobil. [7] Euseb. Ad Aquilam Montef. ἐν τῇ ὁδῷ σου, et ἐν τῇ ἀληθείᾳ σου falso exscripsit. [8] Syro-hex. in textu habet, εὐφρανθήτω ἡ κ. μου; in marg. autem sine auctore, ἑνωθήτω (s. ἑνωθήσεται) ἡ κ. μου (ܢܬܚܝܕ ܠܒܝ). [9] Euseb. Nobil. affert: Ἀ. μοναχῶς (sic). Σ. ἕνωσον. Hieron.: *unicum fac.*

14. זֵדִים. *Superbi.* Ο΄. παράνομοι. Οἱ λοιποὶ πάντες· ὑπερήφανοι.[10]

וַעֲדַת עָרִיצִים בִּקְשׁוּ נַפְשִׁי. *Et coetus violentorum quaerunt animam meam.* Ο΄. καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου. Ἀ. καὶ συναγωγὴ κατισχυρευομένων ... Σ. καὶ συναγωγὴ ἀνυποστάτων ἐζήτησε τὴν ψυχήν μου.[11]

16. תְּנָה־עֻזְּךָ לְעַבְדֶּךָ. *Da robur tuum servo tuo.* Ο΄. δὸς τὸ κράτος σου τῷ παιδί σου. Σ. δὸς ἰσχὺν παρὰ σοῦ τῷ δούλῳ σου.[12]

PSALM. LXXXVI (Hebr. lxxxvii).

1. לִבְנֵי־קֹרַח מִזְמוֹר שִׁיר. *Filiis Core canticum carminis.* Ο΄. τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς. Ἀ. Σ. τῶν υἱῶν Κορέ ...[1] Σ. τῶν υἱῶν Κορὲ ψαλμὸς ᾄσματος.[2]

יְסוּדָתוֹ בְּהַרְרֵי־קֹדֶשׁ. *Fundamentum ejus est in montibus sanctitatis.* Ο΄. οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Ἀ. θεμελίωσις αὐτοῦ ἐν ὄρεσιν ἡγιασμένου.[3]

2. מִכֹּל מִשְׁכְּנוֹת. *Prae omnibus tabernaculis.* Ο΄. ὑπὲρ πάντα τὰ σκηνώματα. Ἀ. ἀπὸ πασῶν σκηνῶν (s. σκηνώσεων).[4]

3. בָּךְ. *De te.* Ο΄. περὶ σοῦ. Ἀ. ἐν σοί.[5]

4. אַזְכִּיר רַהַב וּבָבֶל לְיֹדְעָי. *Annumerabo Rahab (Aegyptum) et Babylonem cultoribus meis.* Ο΄. μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με. Ἀ. ἀναμνήσω ὁρμήματος καὶ Βαβυλῶνος τοὺς γινώσκοντάς με. Σ. ἀναμνήσω ὑπερηφανίαν καὶ Βαβυλῶνα τοῖς εἰδόσι με.[6]

הִנֵּה פְלֶשֶׁת וְצוֹר עִם־כּוּשׁ זֶה יֻלַּד־שָׁם. *Ecce! Philistaea et Tyrus cum Aethiopia; iste natus est ibi.* Ο΄. καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος ÷ καὶ ◂ λαὸς Αἰθιόπων, οὗτοι ἐγεννήθησαν ἐκεῖ. Ἀ. ἰδοὺ Φυλιστιαία καὶ Τύρος μετὰ Αἰθιοπίας, οὗτος ἐτέχθη ἐκεῖ. Σ. ἰδοὺ Φυλιστιαῖοι καὶ Τύρος μετὰ Αἰθιοπίας, οὗτος ἐτέχθη ἐκεῖ.[7]

5. וּלְצִיּוֹן יֵאָמַר אִישׁ וְאִישׁ יֻלַּד־בָּהּ וְהוּא יְכוֹנְנֶהָ עֶלְיוֹן. *Et Sioni dicetur: Vir et vir* (quilibet) *natus est in ea, et ipse stabiliet eam Altissimus.* Ο΄. μήτηρ Σιὼν (alia exempl. μὴ τῇ Σιών[8]) ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγενήθη (ἐγεννήθη) ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος. Ἀ. καὶ τῇ Σιὼν λεχθήσεται, ἀνὴρ καὶ ἀνὴρ ἔτεχθη ἐν αὐτῇ, καὶ αὐτὸς ἑδράσει αὐτήν ..[9] Σ. περί τε Σιὼν λεχθήσεται καθ' ἕκαστον, ἄνθρωπος οὗτος ἐτέχθη ἐκεῖ, αὐτὸς δὲ ἥδρασεν αὐτὴν ὁ ὕψιστος.[10]

---

[10] Euseb. Syro-hex. affert: Ἀ. Σ. ὑπερήφανοι (ܫܒܗܪ̈ܐ). [11] Euseb. Syrus affert: Σ. ἀνυποστάτων (ܕܠܐ ܡܣܬܝܒܪ̈ܢܐ = ἀνυπομονήτων Exod. xviii. 18 in Syro-hex.). [12] Euseb., Nobil.

PSALM. LXXXVI. [1] Euseb., Nobil. [2] Syro-hex. ܣ. (Cod. B. ܐ.) ܕܒ̈ܢܝܐ ܕܩܘܪܚ ܡܙܡܘܪܐ ܕܙܡܝܪܬܐ. [3] "MSS. et Drusius [Nobil.]."—*Montef.* Minus probabiliter *Catena PP. GG.*, T. II, p. 769: Ἀ. ἐν ὄρεσιν ἡγιασμένοις. Ab utroque discedit Syro-hex.: Ἀ. θ. αὐτοῦ ἐν ὄρει αὐτοῦ ἡγιασμένῳ (ܫܘܬܐܣܘܗܝ ܒܛܘܪܗ ܩܕܝܫܐ). [4] Syro-hex. ܐ. ܡܢ ܟܠܗܘܢ ܡܫܟ̈ܢܐ. [5] Idem: ܐ. ܒܟܝ. [6] Colb. στιχηρῶς scriptus. Euseb. affert: Ἀ. ἀναμνήσω ὁρ. καὶ Β. Σ. ἀναμνήσω ὑπ. καὶ Β. Syro-hex. ܣ. ܐܥܗܕ ܫܘܒܗܪܐ ܘܠܒܒܠ ܠܝܕܘܥܝ ܠܝ. Symmachum imitatus est Hieron.: *Commemorabo superbiae et Babylonis scientibus me.* [7] Euseb. Syrus affert: ܐ. ܣ. ܗܐ ܦܠܫܬܝ̈ܐ (Φυλιστιαῖοι) ܘܨܘܪ ܥܡ ܟܘܫ. ܗܢܐ ܐܬܝܠܕ ܬܡܢ. Euthym.: τὸ δὲ ἐγεννήθησαν, ἐτάχθησαν (ἐτέχθησαν) ἐξέδωκεν ὁ Ἀκ., ὁμοίως δὲ καὶ ὁ Σύμ. [8] In omnibus libris Graecis est μήτηρ Σιὼν, sed Coislin. apud Montef., Nobil., Vat. hanc notam habent: Μήτηρ Σιών· τὸ ρ̄ κατὰ προσθήκην ἔκειτο εἰς τὴν τῶν Ο΄ ἐν τῷ τετρασελίδῳ· ἐν δὲ τῷ ὀκτασελίδῳ, μὴ τῇ (Nobil. μήτηρ) Σιὼν, ἤγουν δίχα τοῦ ῥῶ. Syro-hex. in textu habet μήτηρ Σιών; sed in marg. ܫܒܥܝܢ.. ܕܠܡܐ: ܠܨܗܝܘܢ, h.e. Οἱ Ο΄. μὴ τῇ Σιών; Etiam Psalt. Gall.: *Numquid Sion.* [9] Euseb. Nobil., Vat.: Ἀ. καὶ τῇ Σιών. [10] Sic Euseb. in Comment. p. 541, omisso tantum δὲ post αὐτός. Idem p. 538 minus probabiliter affert: Σ. περὶ δὲ Σ. λ. καθ' ἕκαστον ἄνθρωπον, αὐτὸς ἐτέχθη ἐκεῖ, αὐτὸς δὲ ἥδρασεν αὐτήν. Longius a via aberravit Nobil.: Σ. περὶ δὲ Σ. λ. ἀνὴρ καὶ ἀνὴρ ἐτέχθη (etiam Vat.: Σ. λ. ἀνὴρ καὶ ἀνὴρ ἐτέχθη) ἐκεῖ, αὐτὸς δὲ ἥδρασεν αὐτὴν ὁ ὕ. Tandem Syro-hex. (ܣ.) ܥܠ ܨܗܝܘܢ ܕܝܢ ܢܬܐܡܪ ܟܠ ܚܕ. ܒܪܢܫܐ ܗܢܐ ܐܬܝܠܕ ܬܡܢ, h.e. λεχθήσεται καθ' ἕκαστον, ἄνθρωπος οὗτος ἐτέχθη ἐκεῖ.

Θ. καὶ τῇ Σιὼν ῥηθήσεται, ἀνὴρ καὶ ἀνὴρ ἐγεννήθη (Θ. Ε΄. S΄. ἐγενήθη) ἐν αὐτῇ, καὶ αὐτὸς [ἐθεμελίωσεν αὐτὴν, καὶ] ἡτοίμασεν αὐτὴν ὁ ὕψιστος.[11]

6. יְהוָה יִסְפֹּר בִּכְתוֹב עַמִּים זֶה יֻלַּד־שָׁם סֶלָה. *Jova numerabit conscribendo populos: Iste natus est ibi. Selah.* Ο΄. κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων τούτων τῶν γεγενημένων ἐν αὐτῇ. διάψαλμα. Ἀ. κύριος διηγήσεται ἐν τῷ γράφειν λαοὺς, οὗτος ἐτέχθη ἐκεῖ ἀεί.[12] Σ. κύριος ἀριθμήσει γράφων λαοὺς, οὗτος ἐτέχθη ἐκεῖ.[13] Θ. κύριος διηγήσεται ἐν γραφῇ λαῶν, οὗτος ἐγεννήθη ἐν αὐτῇ (s. ἐκεῖ).[14] Ε΄. . . ἐν ἀπογραφῇ λαῶν, οὗτος γεννηθήσεται ἐκεῖ.[15]

7. וְשָׁרִים כְּחֹלְלִים כָּל־מַעְיָנַי בָּךְ. *Et cantores pariter atque tibicines: omnes fontes mei sunt in te.* Ο΄. ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί. Ἀ. καὶ ᾄδοντες ὡς χοροὶ, πᾶσαι πηγαί μου ἐν σοί.[16] Σ. καὶ αἰνέσουσιν ὡς ἐν αὐλοῖς πᾶσαι αἱ πηγαὶ ἐν σοί.[17]

PSALM. LXXXVII (Hebr. lxxxviii).

1. שִׁיר מִזְמוֹר לִבְנֵי־קֹרַח לַמְנַצֵּחַ עַל־מָחֲלַת לְעַנּוֹת מַשְׂכִּיל לְהֵימָן הָאֶזְרָחִי. *Carmen cantici filiis Core, praecentori super citharam ad respondendum,* (carmen) *didacticum* τῷ *Heman Esrachitae.* Ο΄. ᾠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορὲ, εἰς τὸ τέλος ὑπὲρ Μαελὲθ τοῦ ἀποκριθῆναι, συνέσεως Αἱμὰν τῷ Ἰσραηλίτῃ. Ἀ. ᾆσμα μελῳδήματος τῶν υἱῶν Κορὲ, τῷ νικοποιῷ τῷ ἐπὶ χορείᾳ τοῦ ἐξάρχειν, ἐπιστημοσύνης τῷ Αἱμὰν τῷ Ἰσραηλίτῃ. Σ. . . διὰ χοροῦ . . .[1]

4. וְחַיַּי לִשְׁאוֹל הִגִּיעוּ. *Et vita mea ad infernum pervenit.* Ο΄. καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε. Ἀ. καὶ ἡ ζωή μου εἰς ᾅδην κατήντηκεν. Σ. καὶ ἡ ζωή μου ᾅδῃ ἥψατο.[2]

5. נֶחְשַׁבְתִּי עִם־יוֹרְדֵי בוֹר. *Annumeratus sum descendentibus in foveam.* Ο΄. προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον. Σ. ἐλογίσθην μετὰ τῶν καταγομένων εἰς λάκκον.[3]

אֵין־אֱיָל. *Sine robore.* Ο΄. ἀβοήθητος. Σ. οὐκ ἰσχύων.[4]

6. בַּמֵּתִים חָפְשִׁי. *Inter mortuos prostratus* (s. *liber*). Ο΄. ἐν νεκροῖς ἐλεύθερος. Ἀ. ἐν τεθνηκόσιν ἐλεύθερος. Σ. ἐντὸς νεκρῶν ἀφεθεὶς ἐλεύθερος.[5]

כְּמוֹ חֲלָלִים שֹׁכְבֵי קֶבֶר אֲשֶׁר לֹא־זְכַרְתָּם עוֹד וְהֵמָּה מִיָּדְךָ נִגְזָרוּ. *Sicut interfecti qui cubant in sepulcro, quorum non meministi amplius, hique e manu tua exclusi sunt.* Ο΄. ὡσεὶ τραυματίαι [ἐρριμμένοι] καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν. Ἀ. ὁμοίως ἀνῃρημένοις . . . ὧν οὐκ ἐμνήσθης αὐτῶν ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπετμήθησαν.[6] Σ. ὡς οἱ τετρωμένοι

---

[11] Euseb., cujus in textum verba a nobis inclusa e versione LXXvirali irrepsisse videntur. Syrus affert: ܐ. ܘܗܘܝܘ ܥܒܕܗ ܠܗ ܥܠܝܐ. ܒܡܐ: ܗܘ ܐܬܝܠܕ ܒܗ ܡܢ. Nobil.: Schol. Θ. Ε΄. S΄. ἐγενήθη. [12] Euseb. Vocab. ἀεὶ accessit ex Nobil., Vat., qui habent: Ἀ. οὗτος ἐτέχθη ἐκεῖ ἀεί. Syrus affert: Ἀ. Σ. κύριος διηγήσεται ἐν τῷ γράφειν λαοὺς (ܡܪܝܐ ܢܫܬܥܐ ܒܡܟܬܒܢܘܬܐ), οὗτος ἐτέχθη ἐκεῖ. Idem ad διάψαλμα in marg. notat: ܫܘܚܠܦܐ. [13] Euseb., Theodoret., Nobil. [14] Euseb., qui nunc ἐν αὐτῇ, nunc ἐκεῖ habet. [15] Euseb. Nobil. ad Psal. lxxxvii. 1 affert: Scholion. Ὁ μὲν πρὸ τούτου ψαλμὸς τὴν γένεσιν αἰνίττεται τοῦ Χριστοῦ, ἧς τὸν καιρὸν ἡ Ε΄ δεδήλωκεν ἔκδοσις, ἐν ἀπογραφῇ τεχθήσεσθαι λέγουσα. [16] Euseb. Pronomen accessit ex Syro-hex., qui affert: ܐ. ܘܡܫܒܚܝܢ. ܐܝܟ ܓܘܕܐ ܟܠܗܝܢ ܡܒܘܥܝܢ ܕܝܠܝ ܒܟܝ. [17] Euseb.

PSALM. LXXXVII. [1] Syro-hex. ܐ. ܙܡܝܪܬܐ ܕܡܙܡܘܪܐ ܕܒܢܝ ܩܘܪܚ ܠܡܢܨܚܢܐ ܕܥܠ ܟܢܪܐ ܠܡܥܢܝܘ. ܕܝܘܠܦܢܐ ܠܐܝܡܢ ܐܝܣܪܝܠܝܐ. Euseb. affert: Ἀ. ἐπὶ χορείας. Σ. διὰ χοροῦ. Theodoret.: Ἀ. ἐπὶ χορείᾳ. Σ. διὰ χοροῦ. Cf. ad Psal. lii. 1. (In textu Psalt. Gall. affert: ※ *Eman Ezraitae* :.) [2] Euseb. [3] Idem. "In illud εἰς λάκκον Coislin. unus in marg. notat, εἰς βόθρον; et infra ad illud ἐν λάκκῳ, notat idem, ἐν βόθρῳ."—*Montef.* Cf. ad Psal. xxvii. 1. [4] Syro-hex. ܣ. ܕܠܐ ܡܫܟܚ ܚܝܠܐ. [5] Euseb., qui ἀφεὶς habet. Syro-hex. ܣ. ܓܘ ܡܝܬܐ ܟܕ ܫܒܝܩ ܚܐܪܐ. [6] Euseb., qui affert: Ἀ. ὅμοιος κ.τ.ἑ. Correxit Schleusner. e *Catena PP. GG.*, T. II, p. 782. Etiam Nobil. habet: Ἀ. ὁμοίως ἀνῃρημένοις. Montef. in exscribendo Eusebio negligenter dedit ἀπεώσθησαν

οἱ κείμενοι ἐν τάφῳ, ὧν οὐ μνημονεύεις οὐκέτι, οἵτινες ὑπὸ τῆς χειρός σου ἐξεκόπησαν.[7]

7. שַׁתַּנִי. *Posuisti me.* Ο΄. ἔθεντό με. Ἀ. ἔθου με. Σ. ἔταξάς με.[8]

בְּמַחֲשַׁכִּים בִּמְצֹלוֹת. *In locis tenebricosis et profundis.* Ο΄. ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου. Ἀ. ἐν σκοτεινοῖς καὶ ἐν βυθοῖς. Σ. ἐν σκοτεινοῖς ἐσκεπασμένον. Ε΄. ἐν σκοτεινοῖς, ἐν καταδύτοις.[9]

8. עָלַי סָמְכָה חֲמָתֶךָ וְכָל־מִשְׁבָּרֶיךָ עִנִּיתָ סֶּלָה. *Super me incubuit ira tua, et omnibus fluctibus tuis opprimis* me. *Selah.* Ο΄. ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ. διάψαλμα. Ἀ. . . . καὶ πᾶσι συντριμμοῖς σου ἐκακούχησας ἀεί.[10] Σ. ἐμοὶ ἐπέβρισεν ὁ θυμός σου, καὶ ταῖς καταιγίσι σου ἐκάκωσάς με . .[11]

9. הִרְחַקְתָּ מְיֻדָּעַי מִמֶּנִּי שַׁתַּנִי תוֹעֵבוֹת לָמוֹ כָּלֻא וְלֹא אֵצֵא. *Amovisti notos meos a me, posuisti me abominationem iis; clausus* sum, *et non evadam.* Ο΄. ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ (Ἀ. ἐξ ἐμοῦ. Σ. Θ. ἀπ' ἐμοῦ[12]), ἔθεντό με βδέλυγμα ἑαυτοῖς· παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην. Σ. μακρὰν ἐποίησας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ· ἔταξάς με βδελυκτὸν αὐτοῖς, φρουρούμενον καὶ μὴ προερχόμενον.[13]

10. עֵינִי דָאֲבָה מִנִּי־עֹנִי קְרָאתִיךָ יְהוָה בְּכָל־יוֹם שִׁטַּחְתִּי אֵלֶיךָ כַפָּי. *Oculus meus contabescit prae afflictione; invoco te, Jova, quotidie; expando ad te volas meas.* Ο΄. οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας· καὶ ἐκέκραξα πρὸς σέ, κύριε, ὅλην τὴν ἡμέραν· διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. Ἀ. ὀφθαλμός μου *contabuit* ἀπὸ κακουχίας . . .[14] Σ. ὁ ὀφθαλμός μου ἐξέρρευσεν ἀπὸ τῆς κακώσεως· ἐπεκαλεσάμην σε καθ' ἑκάστην ἡμέραν· διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.[15]

11. הֲלַמֵּתִים תַּעֲשֶׂה־פֶּלֶא. *Num mortuis facies mirabilia?* Ο΄. μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; Σ. ἆρα νεκροῖς ποιήσεις τεράστια;[16]

אִם־רְפָאִים יָקוּמוּ יוֹדוּךָ. *Num manes resurgent* et *celebrabunt te?* Ο΄. ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι; Σ. θεομάχοι ἀνιστάμενοι ἐξομολογήσονταί σοι;[17]

12. הַיְסֻפַּר. *Num narrabitur.* Ο΄. μὴ διηγήσεται. Σ. ἢ διηγήσεται.[18]

---

pro ἀπετμήθησαν, omisso quoque αὐτῶν. Syro-hex. affert: ※ (ἀπετμήθησαν) ܐ. ܐܘ ܗܢܘܢ ܕܡܢ ܐܝܕܟ ܐܬܦܣܩܘ. (In textu LXXvirali duplex versio ἐρριμμένοι abest a Comp., Ald., Syro-hex., Cod. Alex., aliis.) [7] Sic Theodoret., Nobil., quorum prior οὐ μνημονεύσῃ οὐκέτι habet. Euseb. affert: Σ. ὡσεὶ τετρωμένοι . . . ὧν οὐ μνημονεύσεις ἔτι κ.τ.ἑ. Parum accurate Euthym.: ὁ δὲ Σ. ἐξέδωκεν· ὡσεὶ τραυματισμένοι (sic) κείμενοι ἐν τάφοις. [8] Euseb. Syro-hex.: Ἀ. Σ. ἔθου με (ܣܡܬܢܝ). Idem in textu ἔθετο, in marg. ἔθεντο affert. [9] Euseb. Syro-hex. affert: Σ. ἐσκεπασμένον (ܡܢ ܡܟܣܝܐ). [10] Syro-hex. ܐ. ܘܒܟܠܗܘܢ ܬܒܪܝܟ ܐܒܐܫܬ ܬܡܝܕܐܝܬ. [11] Euseb., Theodoret., Nobil. Pro ἐπέβρισεν Theodoret. ἐπείσφρησεν, Euthym. ἐπεβάρησεν, Reg. unus ἐνεβρίμησεν legit; frustra. Cf. Hex. ad Job. xxxvii. 11. Colb. στιχηρῶς scriptus affert: Σ. ὄντως ἐμοὶ ἐπέβρισεν. [12] Vat., cum scholio: ἐπ' ἐμοῦ ἔκειτο ἐν τῷ τετρασελίδῳ παρὰ τοῖς Ο΄, μήποτε σφάλμα ἦν· ἐν τῷ ὀκτασελίδῳ, ἀπ' ἐμοῦ. Eadem affert Nobil., perperam distinguendo, μήποτε σφ. ἦν ἐν τῷ ὀκτ. [13] Euseb. Syro-hex. affert: Σ. ἔταξας κ.τ.ἑ. (ܣܡܬܢܝ ܛܢܦܐ ܠܗܘܢ. ܕܡܬܢܛܪ ܘܠܐ ܢܦܩ ܠܩܕܡ). [14] Syro-hex. ܐ. ܥܝܢܝ ܕܐܬܡܣܝܬ ܡܢ ܘܝܐ ※ ܡܢ, h.e. Bugato vertente, *oculus meus infirmatus est* etc. Idem ad Psal. cv. 15 Syriacum ܡܣܝܘܬܐ, ab Aquila pro Hebr. רָזוֹן, *macies*, positum, *infirmitatem* Latine reddidit. Lexica, quae nobis ad manum sunt, tantummodo dant ܡܣܝܐ, *infirmi, imbecilles*, ex Bar Bahlul. Verbum ܡܣܝ cum Graeco συνεψήσθη, *corrasus, abreptus est*, permutatur Jerem. xlvi. 15. l. 45. Vid. nos in *Otio Norvic.* p. 51. [15] Euseb. Priora, ὁ ὀφθ. μου — κακώσεως, confirmant Theodoret., Nobil. Parsons. e Codd. 264, 268 exscripsit: Σ. ὁ ὀφθ. μου ἐξηρεύνησεν (ἐξένευσεν Cod. 268) ἐπὶ (ἀπὸ idem) τῆς κακώσεως. Syro-hex. affert: ܣ. ܥܝܢܝ ܕܒܪ ※ ܡܢ ܡܟܐܒܘܬܐ (ἐξέρρευσεν). [16] Euseb., Reg. unus. Syrus affert: Σ. τεράστιον (ܬܕܡܪܬܐ). [17] Idem Symmacho continuat: ܓܢܒܪܐ ܡܬܟܬܫܝܢ ܥܡ ܐܠܗܐ. ܕܡ ܡܢ ܢܘܕܘܢ ܠܟ ※. Quatuor verba priora Bugatus vertit: *gigantes pugnabunt cum Deo.* Sed videntur esse mera periphrasis vocabuli θεομάχοι, quod hic interpres cum Hebr. רְפָאִים commutare solet. Si quis tamen h. l. γίγαντες θεομάχοι praetulerit, non refragabimur. Cf. Hex. ad Job. xxvi. 5. [18] Euseb., Reg. unus.

13. הֲיִוָּדַע. *Num cognoscetur.* Ο΄. μὴ γνωσθήσεται. Σ. ἢ γνωσθήσεται.[19]

14. וַאֲנִי אֵלֶיךָ יְהוָה שִׁוַּעְתִּי וּבַבֹּקֶר תְּפִלָּתִי תְקַדְּמֶךָּ. *Ego autem ad te, Jova, clamavi, et mane precatio mea praeveniet te.* Ο΄. κἀγὼ πρὸς σὲ, κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε. Σ. ἐμοῦ δὲ πρὸς σὲ, κύριε, ἡ οἰμωγὴ, καὶ κατ' ὄρθρον ἡ προσευχή μου προφθάνει σε.[20]

15. לָמָה יְהוָה תִּזְנַח נַפְשִׁי. *Quare, Jova, rejicis animam meam?* Ο΄. Θ. ἱνατί, κύριε, ἀπωθεῖς τὴν προσευχήν μου; Ἀ. εἰς τί, κύριε, ἀπώσῃ ψυχήν μου; Σ. ἱνατί, κύριε, ἀποβάλλῃ τὴν ψυχήν μου;[21]

16. עָנִי אֲנִי וְגֹוֵעַ מִנֹּעַר נָשָׂאתִי אֵמֶיךָ. *Miser ego* sum, *et moriens a juventute, pertuli terrores tuos.* Ο΄. πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην. Σ. πτωχὸς ὢν καὶ ἐκλείπων ἀπὸ νεότητος, ἀνέλαβον τὸν φόβον σου.[22]

16, 17. אָפוּנָה׃ עָלַי עָבְרוּ חֲרוֹנֶיךָ בִּעוּתֶיךָ צִמְּתֻתוּנִי. *Consilii inops sum. Super me transierunt irae tuae, terrores tui exsciderunt me.* Ο΄. καὶ ἐξηπορήθην. ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, καὶ οἱ φοβερισμοί σου ἐξετάραξάν με. Ἀ. . . ἐπ' ἐμὲ παρῆλθον αἱ ὀργαί σου . . . Σ. πρὸς τούτοις δι' ἐμοῦ παρώδευσαν αἱ ὀργαί σου, αἱ ἐκπλήξεις σου κατεσιώπησάν με.[23]

18. סַבּוּנִי כַמַּיִם כָּל־הַיּוֹם הִקִּיפוּ עָלַי יָחַד. *Circumdant me sicut aqua tota die, cingunt me simul.* Ο΄. ἐκύκλωσάν με ὡς ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα. Σ. περιῆλθόν με ὡς ὕδατα, πᾶσαν τὴν ἡμέραν περιεκύκλωσάν με . .[24]

19. הִרְחַקְתָּ מִמֶּנִּי אֹהֵב וָרֵעַ מְיֻדָּעַי מַחְשָׁךְ. *Amovisti a me amicum et socium, noti mei* sunt *tenebrae.* Ο΄. ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον (alia exempl. add. καὶ πλησίον[25]), καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας. Σ. μακρὰν ἐποίησας ἀπ' ἐμοῦ φίλον καὶ ἑταῖρον, καὶ τοὺς γνωστούς μου σκοτασμόν.[26]

PSALM. LXXXVIII (Hebr. lxxxix).

1. לְאֵיתָן הָאֶזְרָחִי. Τῷ *Ethan Esrachitae.* Ο΄. Αἰθὰμ τῷ Ἰσραηλίτῃ. Ἄλλος· Αἰθὰμ τῷ Ζαραΐτῃ.[1] Ἄλλος· Αἰθὰν τῷ Ἐζραΐτῃ.[2]

2. חַסְדֵי יְהוָה עוֹלָם אָשִׁירָה. *Beneficia Jovae perpetuo canam.* Ο΄. τὰ ἐλέη σου, κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι. Ἀ. ἔλεος κυρίου αἰῶνα ᾄσομαι. Σ. τὰ ἐλέη κυρίου εἰς τὸν αἰῶνα ᾄσω. Θ. ὁμοίως τοῖς Ο΄.[3]

3. כִּי־אָמַרְתִּי עוֹלָם. *Nam dixi: In perpetuum.* Ο΄. ὅτι εἶπας, εἰς τὸν αἰῶνα. Ἀ. Ε΄. ὅτι εἶπα . . Σ. Θ. ὅτι εἶπον . .[4]

שָׁמַיִם תָּכִן אֱמוּנָתְךָ בָהֶם. *Caelos* (quod attinet) *confirmabis veritatem tuam in illis.* Ο΄. ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου. Σ. ἐν τοῖς οὐρανοῖς ἑδρασθήσεται ἡ ἀλήθειά σου.[5]

4. לִבְחִירִי. *Electo meo.* Ο΄. τοῖς ἐκλεκτοῖς μου. Οἱ λοιποὶ πάντες· τῷ ἐπιλέκτῳ μου.[6]

---

[19] Euseb., Reg. unus. [20] Theodoret., et Colb. στιχηρῶς scriptus. Nobil. affert: Σ. ἐμοῦ δὲ——οἰμωγή. [21] Nobil. [22] Euseb. Post ἐκλείπων interpungit Syro-hex. ܗ̇. ܡܢ ܛܠܝܐ. ܐ̇ܠܐ ܘܡܬܡܟܟܐ. ܡܢ ܛܠܝܘܬܐ ܢܣܒܬ ܕܚܠܬܟ ♦ [23] Euseb. Syrus affert: Σ. κατεσιώπησάν με (ܫܬܩܘܢܝ). [24] Euseb. [25] "Alii libri [Comp., Ald., Theodoret., Syro-hex., Psalt. Gall., Cod. Alex., alii] habent φίλον καὶ πλησίον. Schol. τὸ πλησίον οὐκ ἔκειτο ἐν τῷ τετρασελίδῳ παρὰ τοῖς Ο΄, οὔτε παρὰ Θ."—*Nobil.* Ex hoc scholio, quod etiam Vat. habet, Drusius notam hexaplarem fecit: Ἀ. Σ. φίλον καὶ πλησίον. Montef. vero exhibet: Ἀ. φίλον καὶ πλησίον. [26] Colb. στιχηρῶς scriptus. Syrus affert: Σ. καὶ ἑταῖρον, κ.τ.έ. (ܘܚܒܪܐ. ܘܝܕ̈ܘܥܝ ܚܫܘܟܐ).

PSALM. LXXXVIII. [1] Scholium apud Nobil. [2] Euseb. [3] Nobil., Vat. [4] Euseb., Reg. unus. Syro-hex. ܐ̇. ܗ̇. ܡܛܠ ܕܐܡܪܬ ܕܠܥܠܡ ♦ [5] Euseb. Theodoret., Euthym.: Σ. ἑδρασθήσεται. In fine lectionis LXXviralis Psalt. Gall. affert: ÷ (corrige ※) *in eis.* [6] Euseb. Syro-hex. ܐ̇. ܠܓܒܝܐ ܕܝܠܝ ♦

5. עַד־עוֹלָם אָכִין זַרְעֶךָ וּבָנִיתִי לְדֹר־וָדוֹר כִּסְאֲךָ. *Usque in aeternum confirmabo semen tuum, et aedificabo in generationem et generationem thronum tuum.* Ο΄. ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου. Σ. ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς ἑκάστην γενεὰν τὸν θρόνον σου.[7]

6. אַף־אֱמוּנָתְךָ בִּקְהַל קְדשִׁים. *Etiam fidem tuam in coetu sanctorum.* Ο΄. καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων. Ἀ. Σ. καίγε τὴν πίστιν σου . . .[8] Θ. καίγε τὴν πίστιν σου ἐν ἐκκλησίᾳ ἁγίων.[9]

7. כִּי מִי בַשַּׁחַק יַעֲרֹךְ לַיהוָה יִדְמֶה לַיהוָה בִּבְנֵי אֵלִים. *Nam quis in caelo comparabit se Jovae? similis est Jovae in filiis deorum?* Ο΄. ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ κυρίῳ; καὶ τίς ὁμοιωθήσεται τῷ κυρίῳ ἐν υἱοῖς θεοῦ; Σ. τίς γὰρ ἐν αἰθέρι ἀντιπαραθήσει τῷ κυρίῳ; ἐξισάσει τῷ κυρίῳ ἐν υἱοῖς θεῶν;[10]

8. אֵל נַעֲרָץ בְּסוֹד־קְדשִׁים רַבָּה וְנוֹרָא עַל־כָּל־סְבִיבָיו. *Deus terribilis in consessu sanctorum magno, et venerandus super omnes* qui sunt *circa eum.* Ο΄. ὁ θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ[11] ἁγίων, μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ. Ἀ. ἰσχυρὸς κατισχυρευόμενος ἐν ἀπορρήτῳ ἁγίων, πλῆθος [πλῆθος] καὶ ἐπίφοβος ἐπὶ πάντας κύκλῳ αὐτοῦ. Σ. θεὲ ἀήττητε ἐν ὁμιλίᾳ ἁγίων πολλῇ, καὶ ἐπίφοβος ἐν πᾶσι τοῖς περὶ σεαυτόν.[12]

10. אַתָּה מוֹשֵׁל בְּגֵאוּת הַיָּם בְּשׂוֹא גַלָּיו אַתָּה תְשַׁבְּחֵם. *Tu dominaris superbiae maris; ubi attollunt se fluctus ejus, tu eos compescis.* Ο΄. σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις. Σ. σὺ ἐξουσιάζεις τῆς ὑπερηφανίας τῆς θαλάσσης, ἐν τῇ ἐπάρσει τῶν κυμάτων αὐτῆς σὺ καταστέλλεις αὐτήν.[13]

13. צָפוֹן וְיָמִין אַתָּה בְרָאתָם. *Septentrionem et austrum, tu creasti illos.* Ο΄. τὸν βορρᾶν καὶ θάλασσαν σὺ ἔκτισας. Ἀ. βορρᾶν καὶ δεξιὰν σὺ ἔκτισας αὐτά.[14] Σ. εἰς βορρᾶν καὶ δεξιὰν σὺ ἔκτισας.[15] Θ. Ε΄. βορρᾶν καὶ νότον σὺ ἔκτισας.[16]

תָּבוֹר וְחֶרְמוֹן בְּשִׁמְךָ יְרַנֵּנוּ. *Tabor et Hermon de nomine tuo jubilabunt.* Ο΄. Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται. Ἀ. Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου αἰνέσουσι. Σ. Θαβὼρ καὶ τὸ Ἑρμὼν τὸ ὄνομά σου εὐφημήσουσι.[17]

14. לְךָ זְרוֹעַ עִם־גְּבוּרָה. *Tibi* est *brachium cum robore.* Ο΄. σὸς ὁ βραχίων μετὰ δυναστείας. Ἀ. . . μετὰ δυνάμεως.[18] Σ. σὸς ὁ βραχίων μετὰ δυναστείας.[19]

תָּעֹז יָדְךָ תָּרוּם יְמִינֶךָ. *Robusta est manus tua, alta est dextera tua.* Ο΄. κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου. Σ. ἀήττητος ἡ χείρ σου, ὑψηλὴ ἡ δεξιά σου.[20]

15. צֶדֶק וּמִשְׁפָּט מְכוֹן כִּסְאֶךָ. *Justitia et jus* sunt *basis throni tui.* Ο΄. δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου. Ἀ. δικαιοσύνη καὶ κρίμα τὸ ἕδρασμα τοῦ θρόνου σου. Σ. δικαιοσύνη καὶ κρίμα βάσις τοῦ θρόνου σου.[21]

---

[7] Euseb. [8] Syro-hex. ܐ. ܣ. ܐܦ ܗܝ ܗܝܡܢܘܬܟ. [9] Theodoret. [10] Theodoret., Colb., quorum hic θεοῦ habet. Apud Euseb. et Nobil. mutila est lectio: Σ. τίς γὰρ ἐν α. ἀντ. τῷ κυρίῳ ἐν υἱοῖς θεοῦ (θεῶν Nobil.). Tandem Syrus affert: Σ. θεῶν (ܕܐܠܗܐ). (In textu LXXvirali καὶ τίς deest in Comp., Ald., Theodoret., Psalt. Gall., Cod. Alex., aliis. Syro-hex. in textu habet καὶ τίς; in marg. ἢ τίς.) [11] Syro-hex. in textu juxta Cod. A. (invito Cod. B.) ἐν βουλαῖς (ܒܡܠܟܘܬܐ). Idem in marg.: *in coetu* (ܒܟܢܘܫܐ). [12] Euseb. Syro-hex. affert: ܣ. ܐܠܗܐ ܕܠܐ ܡܬܙܟܐ ܒܟܢܘܫܐ ܕܩܕܝܫܐ ܣܓܝܐܐ; quasi in suo habuisset: Σ. θεὲ ἀήττητε (s. θεὸς ἀήττητος) ἐν ὁμιλίᾳ ἁγίων, πολύς. Nisi legendum cum Cod. B. ܕܩܕܝܫܐ ܣܓܝܐܐ, ἁγίων πολλῶν. [13] Syro-hex. ܣ. ܐܢܬ ܡܫܠܛ ܐܢܬ ܒܫܘܒܗܪܗ ܕܝܡܐ. ܒܡܬܬܪܝܡܘܬܐ ܕܓܠܠܘܗܝ ܐܢܬ ܡܟܠܐ ܐܢܬ ܠܗ. [14] Euseb. In fine αὐτὰ assumsimus ex *Catena PP. GG.*, T. II, p. 827, et Syro-hex., qui affert: ܐ. ܠܓܪܒܝܐ ܘܠܝܡܝܢܐ ܐܢܬ ܒܪܝܬ ܐܢܘܢ. [15] Euseb. [16] Euseb., Theodoret. Nobil. affert: Ἀ. βορρᾶν καὶ δεξιάν. Σ. εἰς β. καὶ εἰς δ. Θ. τὸν β. καὶ νότον. [17] Euseb. Theodoret. affert: Ἀ. αἰνέσουσι. Σ. εὐφημήσουσι. Syro-hex. ܣ. ܢܫܒܚܘܢ. [18] Theodoret. [19] Euseb. [20] Euseb., Theodoret., Nobil., Reg. unus. Syrus affert: Σ. *invincibilitas* (ܠܐ ܡܬܙܟܝܢܘܬܐ). Cf. ad Psal. xxx. 5. [21] Euseb.

16. יֹדְעֵי תְרוּעָה. *Qui noverunt clangorem.* Ο΄. ὁ γινώσκων ἀλαλαγμόν. Σ. ὁ γινώσκων σημασίαν.[22]

17. כָּל־הַיּוֹם. *Quotidie.* Ο΄. ὅλην τὴν ἡμέραν. Σ. πᾶσαν ἡμέραν.[23]

18. כִּי־תִפְאֶרֶת עֻזָּמוֹ אָתָּה. *Quia gloria roboris eorum tu es.* Ο΄. ὅτι τὸ καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ. Σ. ὅτι ἀγλάϊσμα ἀήττητον αὐτῶν εἶ σύ.[24]

20. בְחָזוֹן. *In visione.* Ο΄. ἐν ὁράσει. Ἀ. Σ. δι' ὁράσεως.[25]

לַחֲסִידֶיךָ. *Pio tuo.* Ο΄. τοῖς υἱοῖς σου. Πάντες· τοῖς ὁσίοις σου. S΄. τοῖς προφήταις σου.[26]

שִׁוִּיתִי עֵזֶר עַל־גִּבּוֹר הֲרִימוֹתִי בָחוּר מֵעָם. *Posui auxilium super heroa, exaltavi electum e populo.* Ο΄. ἐθέμην βοήθειαν ἐπὶ δυνατὸν, ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. Σ. ἐπέθηκα ἀντίληψιν ἀνδρείῳ, ὕψωσα ἐπίλεκτον ἀπὸ τοῦ λαοῦ μου.[27]

22–25. אֲשֶׁר יָדִי תִּכּוֹן עִמּוֹ אַף־זְרוֹעִי תְאַמְּצֶנּוּ׃ לֹא־יַשִּׁא אוֹיֵב בּוֹ וּבֶן־עַוְלָה לֹא יְעַנֶּנּוּ׃ וְכַתּוֹתִי מִפָּנָיו צָרָיו וּמְשַׂנְאָיו אֶגּוֹף׃ וֶאֱמוּנָתִי וְחַסְדִּי עִמּוֹ. *Cum quo manus mea firma erit, etiam brachium meum roborabit eum. Non exactorem aget inimicus in eum, et filius iniquitatis non affliget eum. Sed profligabo a facie ejus hostes ejus, et osores ejus percutiam. Et veritas mea et favor meus* erit *cum eo.* Ο΄. ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν. οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι (Ο΄. Σ. οὐ κακώσει. Θ. οὐ κακουχήσει[28]) αὐτόν. καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ, καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι. καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ. Σ. ἡ δεξιά μου βεβαίως συνέσται αὐτῷ, καὶ ὁ βραχίων μου στερεώσει αὐτόν. οὐκ ἐξαπατήσει αὐτὸν ἐχθρὸς, οὐδὲ υἱὸς ἀδικίας κακώσει αὐτόν. ἀλλὰ καὶ συγκόψω ἀπὸ ἔμπροσθεν αὐτοῦ τοὺς μισοῦντας αὐτὸν, καὶ τοὺς κακοποιοῦντας αὐτὸν πατάξω. ἡ δὲ βεβαίωσις καὶ ἡ χάρις μου συνέσται αὐτῷ.[29]

28. עֶלְיוֹן לְמַלְכֵי־אָרֶץ. *Supremum regibus terrae.* Ο΄. ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. Ἀ. ὕψιστον τοῖς βασιλεῦσι τῆς γῆς.[30] Σ. ἀνώτατον τῶν βασιλέων τῆς γῆς.[31]

30. וְשַׂמְתִּי לָעַד זַרְעוֹ וְכִסְאוֹ כִּימֵי שָׁמָיִם. *Et ponam in perpetuum semen ejus, et thronum ejus sicut dies caelorum.* Ο΄. καὶ θήσομαι εἰς τὸν αἰῶνα ÷ τοῦ αἰῶνος ◂ τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.

Aliter Euthym.: ὁ μὲν Ἀ. ἐξέδωκε· δ. καὶ κρίσις βάσις τοῦ θ. σου, ὁ δὲ Σ., ἕδρασμα. Sed cum Eusebio consentit Syro-hex.: Ἀ. ἕδρασμα (ܡܣܡܟܢܘܬܐ). Σ. βάσις (ܣܡܟܐ). Cf. ad Psal. xxxii. 14. xcvi. 2. [22] Euseb. Syrus affert: Σ. σημασίαν (ܫܘܕܥܐ). [23] Euseb. [24] Catena Parisiensis, ubi ἀήττητον τὸν αὐτῶν scriptum. Cf. Hex. ad Prov. xix. 11. [25] Syro-hex. ♦ ܐ. ܣ. ܒܝܕ ܚܙܘܐ. Theodoret. affert: Σ. τότε ἐλάλησας δι' ὁράσεως τοῖς υἱοῖς σου. [26] Hieron. in Epist. ad Sun. et Fret. 57: "*Sanctis tuis.* Pro quo in Graeco, *filiis tuis*, invenisse vos dicitis. Sed sciendum quod in Hebraeo LAASIDACH habet, quod omnes τοῖς ὁσίοις σου, id est, *sanctis tuis*, transtulerunt; et sola Sexta editio, *prophetis tuis*, interpretata est, sensum magis quam verbum exprimens. Et in Κοινῇ tantum pro *sanctis*, *filios* reperi." Ubi Vallarsius: "Hexapla et veteres [Hieronymi] edd. ἁγίοις pro ὁσίοις habent, quod verius videtur." Immo ἅγιος pro Hebr. חָסִיד ne unus quidem interpres Graecus dixit, sed omnes constanter ὅσιος. Error veterum edd. fraudi fuit Montefalconio, qui "ex MSS. et Hieron." notam hexaplarem sic constituit: Ἀ. Ο΄. τότε ἐλάλησας ἐν ὁράσει τοῖς ἁγίοις σου (Ο΄. υἱοῖς σου). Σ. τότε ἐλάλησας δι' ὁράσεως τοῖς ἁγίοις σου. S΄. τοῖς προφήταις σου. In apparatu Parsonsiano nullus codex τοῖς ἁγίοις σου, unus (Cod. 175) τοῖς ὁσίοις σου, alius (Cod. 264) in marg. affert: γρ. τοῖς ὁσίοις σου. Ἀ. Σ. Ε΄. οὕτως καὶ (καὶ compendiose scriptum vix differt a siglo S΄) τοῖς προφήταις σου. [27] Euseb. Pro ἀνδρῶν, ut in Euseb. legitur, Schleusner. in *Opusc. Crit.* p. 242 certissime correxit ἀνδρείῳ. Cf. Hex. ad Psal. xxxii. 16. Jesai. iii. 2. Ezech. xxxii. 12. Amos ii. 16. (In textu LXXvirali Syro-hex. habet ܥܠ ܚܝܠܬܢܐ, h. e. ἐπὶ δυνατοῦ, ut videtur, invitis libris Graecis: idem in marg. ♦ܓܢܒܪܐ.) [28] Nobil., Vat. [29] Euseb. [30] Theodoret., Nobil. Apud Theodoret. παρὰ ante τοῖς β. ex uno cod. perperam assumsit Schulzius. [31] Euseb., Theodoret., Nobil.

Σ. *καὶ ποιήσω διηνεκὲς τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ἐφ' ὅσον αἱ ἡμέραι τοῦ οὐρανοῦ.*[32]

32. חֻקֹּתַי. *Statuta mea.* Ο΄. τὰ δικαιώματά μου. Ἄλλος· ἀκριβάσματα. Ἄλλος· προστάγματα.[33]

33. וּבִנְגָעִים. *Et plagis.* Ο΄. καὶ ἐν μάστιξι. Ἀ. Σ. καὶ ἐν ἁφαῖς.[34]

34. וְלֹא אֲשַׁקֵּר בֶּאֱמוּנָתִי. *Nec mentiar in fide mea.* Ο΄. οὐδὲ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου. Ἀ. (καὶ) οὐ ψεύσομαι ... Σ. (καὶ) οὐ παραβήσομαι ...[35]

36. בְקָדְשִׁי. *Per sanctitatem meam.* Ο΄. ἐν τῷ ἁγίῳ μου. Ε΄. κατὰ τοῦ ἁγιασμοῦ μου.[36]

38. כְּיָרֵחַ יִכּוֹן עוֹלָם. *Sicut luna stabilis erit in perpetuum.* Ο΄. καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα. Σ. ὡς ἡ μήνη ἑδραία αἰωνίως μενεῖ.[37]

וְעֵד. *Et testis.* Ο΄. καὶ ὁ μάρτυς. Σ. (καὶ) ὁ διαμαρτυρόμενος.[38]

39. וְאַתָּה זָנַחְתָּ וַתִּמְאָס. *Tu vero rejecisti et sprevisti.* Ο΄. σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας. Σ. σὺ δὲ αὐτὸς ἀπεβάλου καὶ ἀπεδοκίμασας.[39]

הִתְעַבַּרְתָּ עִם־מְשִׁיחֶךָ. *Iratus es uncto tuo.* Ο΄. ἀνεβάλου τὸν χριστόν σου. Ἀ. ἀνυπερθέτησας μετὰ ἠλειμμένου σου.[40] Σ. ἐχολώθης πρὸς τὸν χριστόν σου.[41]

40. נֵאַרְתָּה בְּרִית עַבְדֶּךָ. *Detestatus es pactum servi tui.* Ο΄. κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου. Σ. εἰς καταρὰν ἔδωκας τὴν συνθήκην τοῦ δούλου σου.[42]

41. מְחִתָּה. *Ruinas.* Ο΄. δειλίαν. Σ. ἥττημα.[43]

43. צָרָיו. *Hostium ejus.* Ο΄. τῶν ἐχθρῶν αὐτοῦ. Ἀ. θλιβόντων αὐτόν. Σ. τῶν θλιβόντων αὐτόν. Ἡ Ϛ΄ μόνη· τῶν ἐχθρῶν αὐτοῦ.[44]

45. הִשְׁבַּתָּ מִטְּהָרוֹ. *Cessare fecisti splendorem ejus.* Ο΄. κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτόν. Ἀ. *dimisisti* καθαρισμὸν αὐτοῦ.[45] Σ. ἀπέπαυσας τὴν καθαρότητα αὐτοῦ.[46]

46. יְמֵי עֲלוּמָיו. *Dies juventutis ejus.* Ο΄. τὰς ἡμέρας τοῦ θρόνου (alia exempl. χρόνου[47]) αὐτοῦ. Ἀ. ἡμέρας νεοτήτων αὐτοῦ.[48] Σ. .. νεότητος αὐτοῦ.[49] Θ. ὁμοίως τοῖς Ο΄.[50]

הֶעֱטִיתָ עָלָיו. *Operuisti eum.* Ο΄. κατέχεας αὐτοῦ. Σ. περιέβαλες αὐτόν.[51]

47. עַד־מָה יְהוָה תִּסָּתֵר לָנֶצַח. *Quousque, Jova, abscondes te penitus?* Ο΄. ἕως πότε, κύριε, ἀποστρέφῃ εἰς τέλος; Ἀ. ἕως πότε, κύριε, ἀποκρυβήσῃ εἰς νῖκος;[52] Σ. ἕως τίνος, κύριε, ἀποκρυβήσῃ εἰς τέλος;[53]

תִּבְעַר כְּמוֹ־אֵשׁ חֲמָתֶךָ. *Exardescet sicut ignis ira tua?* Ο΄. ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου; Σ. φλεγήσεται ὡς πῦρ ὁ θυμός σου;[54]

48. זְכָר־אֲנִי מֶה־חָלֶד. *Memento, quod ad me*

---

[32] Euseb., Regii duo. Syro-hex. affert: Σ. *ἐφ' ὅσον αἱ ἡμέραι τοῦ οὐρανοῦ* (ܟܡܐ ܕܝܘ̈ܡܬܐ ܕܫܡܝܐ). [33] Coislin. unus. Cf. ad Psal. xxxv. 7. [34] Syro-hex. ܐ. ܣ. ܘܒܡܓܘ̈ܫܬܐ ܀ [35] Theodoret., Nobil. Montef. edidit: Ἀ. *οὐ ψεύσομαι τὰς ἐπαγγελίας*, notans: "Unus codex. Sed haec interpretatio non videtur Aquilae esse; immo potius scholion aliquid incerti." Scholium plenius affert Cod. 264: Ἀ. *οὐ ψεύσομαι τὰς ἐπαγγελίας μου, οὐ παραβήσομαι τὰς συνθήκας, ἀλλὰ δείξω τῶν ὑποσχέσεων τὴν ἀλήθειαν.* [36] "Reg. unus ex Apolinario."—*Montef.* [37] Euseb. [38] Theodoret., Nobil. et "duo codd.," quorum unus *διαμαρτυράμενος* habet. [39] Theodoret., Nobil. Syro-hex. ܣ. ܗܘ. ܕܝܢ ܐܢܬ ܕܫܕܝܬ ܘܐܣܠܝܬ. [40] Euseb., ubi mendose legitur *ὑπερηθέτησας*. Cf. ad Psal. lxxvii. 21, 59. [41] Euseb., Theodoret., Nobil. Syrus Symmacho continuat: ܚܒܠܐ ܠܘܬ ܡܫܝܚܟ ܀ [42] Theodoret., Nobil. Montef. *διαθήκην* pro *συνθήκην* negligenter exscripsit. Cod. 268: Σ. *τὴν συνθήκην.* [43] Syro-hex. ܣ. ܡܬܒܪܢܘܬܐ ܀ Vox Syriaca commutatur cum *ἥττημα* Jesai. xxxi. 8. Cf. ad v. 14. [44] Vat. Idem notat: Ἐν *τῷ τετρασελίδῳ οὕτως* (sc. *τῶν ἐχθρῶν αὐτοῦ*)· *ἐν δὲ τῷ ὀκτασελίδῳ, θλιβόντων αὐτόν.* [45] Syro-hex. ܐ. ܫܒܩܬ ܠܕܘܟܝܘܬܐ ܕܝܠܗ ܀ [46] Theodoret., Nobil., Reg. unus. "Duo Regii habent *κατέλυσας*."—*Montef.* [47] Sic Comp., Ald., Theodoret., Syro-hex., Psalt. Gall., Cod. Alex., alii. [48] Nobil., Vat. [49] Nobil. Syro-hex. ܣ. ܕܛܠܝܘܬܗ ܀ [50] Vat. [51] Syro-hex. ܣ. ܐܥܛܦܬܝܗܝ ܀ [52] Euseb. [53] Euseb., Theodoret., Nobil. [54] Theodoret., Nobil.

attinet, quae (quam fluxa) *sit vita.* Ο΄. μνήσθητι τίς ἡ ὑπόστασίς μου. Ἀ. μνήσθητί μου ἐκ καταδύσεως.[55] Σ. μνήσθητι τί εἰμι ζῶν· πρὸς ἡμέραν (s. ἐφήμερος) εἰμί.[56]

48. כָּל־בְּנֵי־אָדָם. *Omnes filios hominum.* Ο΄. ※ πάντας ◀ τοὺς υἱοὺς τῶν ἀνθρώπων.[57]

49. סֶלָה. *Selah.* Ο΄. διάψαλμα. Ἀ. *cantilena.*[58]

50. אַיֵּה. *Ubi.* Ο΄. Ἀ. Σ. ποῦ ἐστι. Θ. ποῦ εἰσί.[59]

51. שְׂאֵתִי בְחֵיקִי כָּל־רַבִּים עַמִּים. *Porto in sinu meo omnes multos populos.* Ο΄. οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν. Ἀ. αἴροντός μου ἐν κόλπῳ πάσας ἀδικίας λαῶν.[60] Σ. ἐβάστασα ἐν τῷ κόλπῳ μου παμπολλῶν ἐθνῶν.[61]

52. אֲשֶׁר חֵרְפוּ עִקְּבוֹת מְשִׁיחֶךָ. (Convicia) *quibus conviciati sunt vestigia uncti tui.* Ο΄. οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα (Ἀ. Θ. Ε΄. τὰ ἴχνη) τοῦ χριστοῦ σου. Σ. οὗ ὠνείδισαν τὰ ἴχνη τοῦ χριστοῦ σου.[62] Aliter: Σ. Θ. ὃν ὠνείδισαν . . .[63]

53. אָמֵן וְאָמֵן. *Amen et amen.* Ο΄. γένοιτο, γένοιτο. Ἀ. πεπιστωμένως καὶ πεπιστωμένως.[64] Σ. ἀμὴν καὶ ἀμήν.[65]

PSALM. LXXXIX (Hebr. xc).

1. אַתָּה הָיִיתָ. *Tu factus es.* Ο΄. ※ σὺ ◀ ἐγενήθης.[1]

בְּדֹר וָדֹר. *In generatione et generatione.* Ο΄. ἐν γενεᾷ καὶ γενεᾷ. Σ. ἐν ἑκάστῃ γενεᾷ.[2]

2. בְּטֶרֶם הָרִים יֻלָּדוּ וַתְּחוֹלֵל אֶרֶץ וְתֵבֵל. *Priusquam montes nati sint, et creaveris terram et orbem.* Ο΄. πρὸ τοῦ ὄρη γενηθῆναι (alia exempl. ἑδρασθῆναι[3]), καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην. Ἀ. Σ. πρὶν ὄρη τεχθῆναι, καὶ ὠδινηθῆναι γῆν καὶ τὴν οἰκουμένην.[4]

אַתָּה אֵל. *Tu es Deus.* Ο΄. σὺ εἶ. μὴ (ἀποστρέψῃς). Οἱ πάντες· σὺ εἶ, ὁ θεός.[5]

3. תָּשֵׁב אֱנוֹשׁ עַד־דַּכָּא. *Redigis hominem in pulverem.* Ο΄. (μὴ) ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν. Σ. ἀναπέμψεις ἄνθρωπον ἕκαστον εἰς κατάκρισιν *contritionis.*[6]

---

[55] Syro-hex. ܐ. ܐܬܕܟܪܝܢܝ ܡܢ ܡܥܠܢܐ. Cf. ad Psal. xvi. 14. (Syr. ܡܥܠܢܐ, *fissura*, ponitur pro κατάδυσις 3 Reg. xv. [13], teste Masio in *Syrorum Pecul.* s. v.) Hieron.: *memento mei de profundo.* [56] Syro-hex. ܣ. ܐܬܕܟܪ ܡܢܐ ܐܝܬܝ ܚܝ. ܠܘܬ ܝܘܡܐ ܓܝܪ ܐܝܬܝ. [57] Sic cum aster. Psalt. Gall. Deest πάντας in Psalt. Rom. et quinque codd. Solus Syro-hex. habet, τοὺς υἱοὺς πάντων τῶν ἀνθρώπων. [58] Syro-hex. ܐ. ܙܡܝܪܬܐ. Cf. ad Psal. xxxviii. 12. [59] Coislin. unus. [60] Euseb. Hieron.: *omnes iniquitates populorum.* [61] Theodoret., Nobil. Minus probabiliter Euseb.: Σ. ἐβάστασα ἐν τῷ κ. μου πάντων τῶν ἐθνῶν. Euthym. notat: τὸ ὑπέσχον ὁ μὲν Ἀ. ἦρα, ὁ δὲ Σ. ἐβάστασα, ἐξέδωκεν. Tandem Syro-hex. ܣ. ܕܫܩܠܬ ܒܥܘܒܝ ܟܠܗܘܢ ܥܘܠܐ ܕܥܡܡܐ ܗܢܘܢ, h. e. Σ. ὅτι ἦρα ἐν τῷ κόλπῳ μου πάσας ἀδικίας λαῶν [τούτων]. Est, ut videtur, Aquilae versio, cui pronomen ܗܢܘܢ e versu sequenti male adhaeret. [62] Montef. edidit: Ἀ. Σ. Θ. οὗ ὠνείδισαν κ.τ.ἑ., notans: "Hanc lectionem Eusebius uni Symmacho tribuit; Theodoretus [omisso οὗ] Aquilae et Theodotioni; unus Regius Symmacho et Theodotioni."—*Montef.* Nobil. affert: Σ. τὰ ἴχνη. Syro-hex.: Σ. Ε΄. τὰ ἴχνη (ܥܩܒܬܐ) τοῦ χριστοῦ σου. [63] Cod. 268. Aquila fortasse bis interpretatus est, οἳ ὠνείδισαν. [64] Sic Euseb., omissa copula. Theodoret. affert: Ἀ. πεπιστωμένος καὶ πεπιστευμένος. Cf. ad Psal. xl. 13. [65] Euseb. Copulam omisit Montef. Syro-hex. ܣ. ܐܡܝܢ ܘܐܡܝܢ.

PSALM. LXXXIX. [1] Sic Psalt. Gall. Pronomen abest a libris omnibus et Syro-hex. [2] Euseb., Nobil. et "MSS." Euthym. notat: ἀντὶ τοῦ, ἐν πάσῃ γ., οὕτως γὰρ καὶ ὁ Σ. ἐξέδωκεν. [3] Sic Origen. et Cyril. Alex. apud Parsonsium. Hieron. in Epist. CXL ad Cyprian. 6: "LXX: *Antequam montes firmarentur.*" Etiam Syro-hex. ܢܫܬܪܪܘܢ (Cod. B. emendatius ܢܫܬܬܣܘܢ). [4] Euseb. "Hieron. vero ad Cyprianum et Codex Graecus Colbert. haec omnibus aliis interpretibus tribuere videntur."—*Montef.* Hieronymi verba sunt: "Illud autem quod et Hebraicum habet, et omnes alii interpretes: *Antequam montes nascerentur, et parturiretur terra.*" [5] Hieron. in Epist. ad Sun. et Fret. 58: "*Tu es Deus.* Et dicitis quod in Graeco non sit Deus. Quod apud eos esse manifestum est. Nam et Hebraicum habet, et omnes alii interpretes, et LXX similiter transtulerunt: ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ, ὁ θεός." [6] Syro-hex. ܣ. ܬܫܕܪ ܠܒܪܢܫܐ ܟܠ ܚܕ ܠܚܘܝܒܐ ܕܡܪܩܘܬܐ. Bugatus vertit: *rejicies hominem unumquemque ad condemnationem contritionis.*

3. וַתֹּאמֶר שׁוּבוּ בְנֵי־אָדָם. *Et dicis: Revertimini, filii hominum.* Ο΄. καὶ εἶπας, ἐπιστρέψατε, υἱοὶ ἀνθρώπων. Ἀ. καὶ ἐρεῖς, ἐπιστράφητε, υἱοὶ τῶν ἀνθρώπων.[7]

4. וְאַשְׁמוּרָה בַלָּיְלָה. *Et vigilia in nocte.* Ο΄. καὶ φυλακὴ ἐν νυκτί. Σ. καὶ ὡς φυλακὴ νυκτερινή.[8]

5. זְרַמְתָּם שֵׁנָה יִהְיוּ. *Inundas* (abripis) *eos, somnus sunt.* Ο΄. τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται. Σ. ὡς καταιγὶς ἐξετίναξας αὐτούς, κοιμώμενοι ἔσονται.[9]

5, 6. בַּבֹּקֶר כֶּחָצִיר יַחֲלֹף׃ בַּבֹּקֶר יָצִיץ וְחָלָף לָעֶרֶב. *Mane instar graminis transit* (s. *viret*); *mane floret et transit* (s. *viret*), *vespere.* Ο΄. τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι· τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι, τὸ ἑσπέρας. Σ. ὥσπερ πρωῒ χόρτος ἀνατέλλει, πρωῒ βλαστήσας καὶ παρελεύσεται ἑσπέρας.[10]

6. יְמוֹלֵל וְיָבֵשׁ. *Succidunt* eum, *et arescit.* Ο΄. ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη. Σ. διαθρυβήσεται ξηρανθείς.[11]

7. כִּי־כָלִינוּ בְאַפֶּךָ. *Quia consumpti sumus in ira tua.* Ο΄. ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου. Σ. ὅτι ἀνηλώθημεν ἐν τῇ ὀργῇ σου.[12]

נִבְהָלְנוּ. *Conturbati sumus.* Ο΄. ἐταράχθημεν. Ἀ. Σ. ἐσπεύσαμεν.[13]

8. שַׁתָּ עֲוֹנֹתֵינוּ לְנֶגְדֶּךָ. *Posuisti iniquitates nostras coram te.* Ο΄. ἔθου τὰς ἀνομίας ἡμῶν ἐνώπιόν σου. Σ. προέθηκας τὰς ἀδικίας ἡμῶν ἀντικρύς σου.[14]

עֲלֻמֵנוּ לִמְאוֹר פָּנֶיךָ. *Occulta* (peccata) *nostra in lumine vultus tui.* Ο΄. ὁ αἰὼν (Ἀ. παροράσεις. Ε΄. νεότητα[15]) ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου. Σ. τὰς ἀμελείας ἡμῶν φαίνεσθαι τῷ προσώπῳ σου.[16]

9. כִּי כָל־יָמֵינוּ פָּנוּ בְעֶבְרָתֶךָ כִּלִּינוּ. *Omnes enim dies nostri inclinant in ira tua; consumpsimus.* Ο΄. ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν. Σ. πᾶσαι γὰρ αἱ ἡμέραι ἡμῶν διέδρασαν, ἐν τῷ χόλῳ σου ἀνηλώθημεν.[17]

10. בָּהֶם שִׁבְעִים שָׁנָה וְאִם בִּגְבוּרֹת. *In iis* sunt *septuaginta anni; si autem robore* (valemus). Ο΄. ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις. Σ. ὁλόκληροι ἑβδομήκοντα ἔτη· εἰ δὲ παραδόξως (s. ἐν παραδόξῳ).[18]

כִּי־גָז חִישׁ וַנָּעֻפָה. *Nam transit cito, et avolamus.* Ο΄. ὅτι ἐπῆλθε πραΰτης ἐφ᾽ ἡμᾶς, καὶ παιδευθησόμεθα. Ἀ. ὅτι διεπέλασεν ἀνήρ, καὶ

---

[7] Theodoret. [8] Regius unus. Deterius Syro-hex.: Ἀ. καὶ ὡς φ. νυκτερινή (ܐ. ܘܐܝܟ ܢܛܘܪܬܐ ܕܒܠܠܝܐ ܀). [9] Syro-hex. ܣ. ܐܝܟ ܥܠܥܠܐ ܢܦܨܬ ܐܢܘܢ. ܕܡܟܝܢ ܢܗܘܘܢ ܀ Minus recte, si quid video, vertit Bugatus: *sicut procella excutit dormientes.* [10] Syro-hex. ܣ. ܐܝܟ ܕܨܦܪܐ ܥܣܒܐ ܕܢܚ. ܨܦܪܐ ܟܕ ܦܪܥ. ܘܥܒܪ ܒܪܡܫܐ ܀ [11] Idem: ܣ. ܢܬܪܥܥ ܟܕ ܝܒܝܫ ܀ Cf. ad Psal. cxvii. 10. (Syriacum ܐܬܪܥܥ commutatur cum Graeco διεθρύβη Nah. i. 6.) [12] Euseb. [13] Sic Montef. ex "MSS.," ut ait, nisi forte auctorem habuerit, quem non nominat, Hieronymum in Epist. ad Cyprian. 10: "Pro eo quod nos diximus, *turbati sumus*, Sym. et Aq. transtulerunt, *acceleravimus.*" Certe Syrus noster affert: Ἀ. Σ. κατεσπουδάσθημεν (ܐܬܥܨܒܢ). Cf. ad Psal. vi. 3, 11), non ἐσπεύσαμεν (ܐܣܬܪܗܒܢ). [14] Sic Nobil., Codd. 264, 268. Montef. ex Euseb. et Theodoreto edidit: Σ. προσέθηκας τὰς ἀνομίας ἡμῶν ἀ. σ. [15] Hieron. ibid. 11: "Ubi nos juxta Hebraicum et Sym. posuimus, *negligentias nostras*, pro quo LXX *saeculum nostrum* transtulerunt, in Hebraico scriptum est ALOMENU, quod Quinta ed. interpretatur, *adolescentiam*, Aquila παροράσεις." [16] Euseb., Theodoret., Nobil. Accurate Syro-hex. ܣ. ܡܫܘܚܠܦܘܬܢ. ܕܢܬܚܙܝܢ ܠܘܩܒܠ ܦܪܨܘܦܟ ܀ [17] Euseb. [18] Hieron. ibid. 13: "Pro eo quod nos posuimus, *in ipsis*, et in Hebraeo habetur BAEM, Symmachus significantius transtulit, ὁλόκληροι . . . *Sin autem multum*, et, ut interpretatus est Sym., *contra opinionem*, octoginta sunt anni." Unde Montef. post Martianaeum effecit: Σ. ὁλόκληροι ὀ΄ ἔτη· ἐὰν δὲ παρὰ προσδοκίαν. Sed hic opportune adest Syrus noster, qui affert: ܣ. ܡܫܡܠܝܐ ܫܒܥܝܢ ܫܢܝܢ. ܐܢ ܕܝܢ ܒܬܕܡܘܪܬܐ ܀ Postremum vocab. verti potest ἐν παραδόξῳ (cf. Luc. v. 26 in Pesch.), et diserte testatur Agellius: "Sym. dixit παραδόξως, *si praeter opinionem crescant.*" Idem ad Psal. xix. 7 ait: "Hanc loquendi formam Psal. lxxxix. 10, *si autem in potentatibus*, Sym. transtulit παραδόξως."

ἐπετάσθη.[19] Σ. τμηθέντες γὰρ ἄφνω ἐκπεταννύμεθα.[20] Θ. ὅτι ἐπῆλθε πραΰτης, καὶ παιδευθησόμεθα.[21] Ε΄. ὅτι ἐπῆλθε σπουδὴ, καὶ ἀνηλώθημεν (s. ἐξελίπομεν).[22]

11. מִי־יוֹדֵעַ עֹז אַפֶּךָ וּכְיִרְאָתְךָ עֶבְרָתֶךָ. *Quis novit potentiam irae tuae? et secundum timorem tuum indignationem tuam?* Ο΄. τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου τοῦ θυμοῦ σου (ἐξαριθμήσασθαι); Σ. τίς οἶδε τὴν ἰσχὺν τοῦ θυμοῦ σου, καὶ κατὰ τὸν φόβον σου τὴν ὀργήν σου;[23]

12. לִמְנוֹת יָמֵינוּ כֵּן הוֹדַע וְנָבִא לְבַב חָכְמָה. *Numerare dies nostros sic ostende* nobis, *ut inferamus cor sapiens.* Ο΄. ἐξαριθμήσασθαι. τὴν δεξιάν σου οὕτως γνώρισον, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ. Ἀ. ἀριθμῆσαι ἡμέρας ἡμῶν οὕτως σήμανον (s. γνώρισον), καὶ οἴσομεν καρδίαν σοφίας.[24] Ἀ. Σ. Ε΄. *dies nostros sic ostende, ut veniamus corde sapienti.*[25]

13. שׁוּבָה יְהוָה עַד־מָתָי וְהִנָּחֵם עַל־עֲבָדֶיךָ. *Converte te, Jova, usquequo? et misereat te servorum tuorum.* Ο΄. ἐπίστρεψον, κύριε, ἕως πότε; καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου. Σ. ἐπιστράφηθι, κύριε, ἕως πότε; παρακλήθητι ὑπὲρ τῶν δούλων σου.[26]

14. שַׂבְּעֵנוּ בַבֹּקֶר חַסְדֶּךָ וּנְרַנְּנָה וְנִשְׂמְחָה בְּכָל־יָמֵינוּ. *Satia nos mane favore tuo, et jubilabimus et laetabimur omnibus diebus nostris.* Ο΄. ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν. ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν (εὐφρανθείημεν). Ἀ. καὶ οἱ ἄλλοι· ἔμπλησον ἡμᾶς ἐν πρωΐᾳ ἐλέους σου, καὶ αἰνέσομεν καὶ εὐφρανθησόμεθα ἐν πάσαις ἡμέραις ἡμῶν.[27] Σ. χόρτασον ἡμᾶς ὀρθρινοῦ ἐλέους σου, ἵνα ὑμνήσωμεν καὶ εὐφρανώμεθα ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν.[28]

15. שַׂמְּחֵנוּ כִּימוֹת עִנִּיתָנוּ שְׁנוֹת רָאִינוּ רָעָה. *Laetifica nos secundum dies* quibus *afflixisti nos, annos* in quibus *vidimus malum.* Ο΄. εὐφρανθείημεν (alia exempl. εὐφράνθημεν[29]) ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά. Σ. εὔφρανον ἡμᾶς πάσας ἡμέρας ἃς ἐκάκωσας ἡμᾶς, ἔτη ἐν οἷς εἴδομεν κακά.[30]

16. יֵרָאֶה אֶל־עֲבָדֶיךָ פָעֳלֶךָ וַהֲדָרְךָ עַל־בְּנֵיהֶם. *Conspicuum fiat servis tuis opus tuum, et splendor tuus filiis eorum.* Ο΄. καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. Σ. φανήτω παρὰ τοῖς δούλοις σου τὰ ἔργα σου, καὶ τὸ ἀξιοπρεπές σου ἐπὶ τὰ τέκνα αὐτῶν.[31]

17. וִיהִי נֹעַם אֲדֹנָי אֱלֹהֵינוּ עָלֵינוּ וּמַעֲשֵׂה יָדֵינוּ

---

[19] Nobil., Vat. (Rarius vocab. διεπέλασεν, q. d. *transpropinquavit,* non opus est cum διεπέρασεν commutare.) Aliter Hieron. ibid. 14: "Satisque miramur quid voluerint verbum Hebraicum AIS LXX, Theod., et Sexta ed. transferre *mansuetudinem;* cum Aq., Sym., et Quinta ed. *festinationem,* et *repente, celeriter*que transtulerint." Ubi *festinatio* (σπουδὴ) fortasse ad posteriorem et accuratiorem Aquilae recensionem referenda est. In priore enim אִישׁ, non חִישׁ, interpretatus est. [20] Euseb., Nobil., Vat. Hieron. ibid.: Σ. *succidimus* (fort. *succidimur*) *enim repente, et avolamus.* Syro-hex. ܣ. ܕ ܓܙܝܪ̈ܝ ܐܬܦܣܩܢ ܡܢ ܡܚܕܐ ܦܪܚܢܢ ܀. Ubi notandum est, tam Syrum quam Latinum interpretem ἐκπεταννύμεθα eodem sensu quo ἐκπετάμεθα cepisse. [21] Nobil., Vat. [22] Syro-hex. ܗ. ܡܛܠ ܕܥܒܪ ܡܟܝܟܘܬܐ ܘܐܬܕܪܢܢ ܀. Graeca nostra non sunt certa, sed Syriaca nullo modo conciliari possunt cum Hieronymo, qui affert: Ε΄. *quoniam transivimus celeriter, et dissolvimur.* [23] Theodoret., Nobil. et "MSS." [24] Syro-hex. ܐ. ܠܡܡܢܐ ܝܘ̈ܡܬܢ ܗܟܢܐ ܗܘܕܥ. ܘܢܝܬܐ ܠܒܐ ܕܚܟܡܬܐ ܀. [25] Hieron. ibid. 16. [26] Euseb. [27] Theodoret. notat: Ὁ χρόνος ἐνήλλακται παρὰ τοῖς Ο΄. ὁ γὰρ Ἀκύλας καὶ οἱ ἄλλοι οὕτως εἰρήκασιν (Nobil. οἱ γὰρ λοιποὶ εἰρήκασιν)· ἔμπλησον κ.τ.ἑ. Nobil. legit ἐν τῇ πρωΐᾳ, et mox ἐν πάσαις ταῖς ἡμέραις. Syro-hex. affert: Ἀ. καὶ αἰνέσομεν (ܘܢܫܒܚ). [28] Euseb., apud quem ἵνα ὑπνώσωμεν sine sensu editum. Semlerus ὑμνώσωμεν reponere jussit, invita lingua. Cf. ad Psal. lviii. 17. [29] Sic Syro-hex., Cod. Alex., alii. In Ed. Rom. legitur εὐφρανθείημεν, sed calamo confossum; nec agnoscit Cod. Vat. a Maio descriptus. [30] Euseb. Syro-hex. ܣ. ܚܕܝ ܠܢ ܐܠܗܐ ܟܡܐ ܝܘ̈ܡܬܐ ܕܐܒܐܫܬ ܠܢ. ܫܢ̈ܝܐ ܕܒܗܝܢ ܚܙܝܢ ܒܝ̈ܫܬܐ ܀. Quasi in Graeco legisset: Σ. εὔφρανον ἡμᾶς, ὁ θεὸς, ὅσας (s. πόσας) ἡμέρας ἐκάκωσας κ. τ. ἑ. [31] Euseb. Post τὸ ἀξιοπρεπὲς supplevimus σου, et in fine αὐτῶν pro ἡμῶν correximus, auctore Syro-hex., qui affert: ܣ. ܢܬܚܙܘܢ ܠܘܬ ܥܒ̈ܕܝܟ ܥܒ̈ܕܝܟ. ܘܫܘܦܪܟ ܕܫܘܐ ܥܠ ܒ̈ܢܝܗܘܢ ܀.

כּוֹנְנָה עָלֵינוּ וּמַעֲשֵׂה יָדֵינוּ כּוֹנְנֵהוּ. *Et sit gratia Jovae Dei nostri super nos, et opus manuum nostrarum stabili super nos, et opus manuum nostrarum stabili illud.* Ο΄. καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾽ ἡμᾶς (alia exempl. addunt: καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον[32]). Σ. καὶ ἔστω τὸ κάλλος κυρίου τοῦ θεοῦ ἡμῶν ἐπάνω ἡμῶν, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν ἑδραῖα ποίησον ὑπὲρ ἡμῶν, καὶ τὴν πρᾶξιν τῶν χειρῶν ἡμῶν ἐπιτέλεσον.[33]

PSALM. XC (Hebr. xci).

1. Ο΄. ÷ αἶνος ᾠδῆς τῷ Δαυίδ ◀. ἀνεπίγραφος ὁ ψαλμός.[1]

יֹשֵׁב בְּסֵתֶר עֶלְיוֹן. *Qui sedet in latibulo Altissimi.* Ο΄. ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου. Ἀ. Ε΄. ὁ καθήμενος ἐν ἀποκρύφῳ ὑψίστου. Σ. ὁ κατοικῶν ὑπὸ σκέπην τοῦ ὑψίστου.[2]

בְּצֵל שַׁדַּי יִתְלוֹנָן. *In umbra Omnipotentis commorabitur.* Ο΄. ἐν σκέπῃ τοῦ θεοῦ ÷ τοῦ οὐρανοῦ ◀ αὐλισθήσεται. Ἀ. ἐν σκιᾷ ἱκανοῦ αὐλισθήσεται.[3] Σ. ὑπὸ σκιὰν τοῦ ἱκανοῦ νυκτερεύων.[4]

2. אֱלֹהַי אֶבְטַח־בּוֹ. *Deus meus, confidam in eo.* Ο΄. ὁ θεός μου, ἐλπιῶ ἐπ᾽ αὐτόν. Ἀ. ὁ θεός (fort. θεέ) μου, πεποιθήσω ἐν αὐτῷ. Σ. ὁ θεός μου, καὶ εὐθαρσήσω ἐν αὐτῷ.[5]

3. מִדֶּבֶר הַוּוֹת. *A peste perniciei.* Ο΄. καὶ ἀπὸ λόγου ταραχώδους. Ἀ. ἀπὸ θανάτου ἐπιβουλῆς.[6] Σ. ἀπὸ λόγου ἐπηρείας.[7]

4. בְּאֶבְרָתוֹ יָסֶךְ לָךְ. *Pennis suis proteget te.* Ο΄. ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι. Σ. ἐν τοῖς μέλεσιν αὐτοῦ ἐπισκιάσει σοι.[8]

תֶּחְסֶה. *Confugies.* Ο΄. ἐλπιεῖς. Σ. ἀμεριμνήσεις.[9]

צִנָּה וְסֹחֵרָה אֲמִתּוֹ. *Scutum et clypeus* est *veritas ejus.* Ο΄. ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. Ἀ. (fort. Σ.) ὡς πανοπλία καὶ περιφέρεια ἡ ἀλήθεια αὐτοῦ.[10]

5. מִפַּחַד לָיְלָה. *A pavore noctis.* Ο΄. ἀπὸ φόβου νυκτερινοῦ. Ἀ. ἀπὸ πτοήσεως νυκτός.[11]

6. מִדֶּבֶר בָּאֹפֶל יַהֲלֹךְ. *A peste* quae *in caligine incedit.* Ο΄. ἀπὸ πράγματος διαπορευομένου ἐν σκότει. Ἀ. ἀπὸ ῥήματος ἐν σκοτομήνῃ περιπατοῦντος. Σ. οὐδὲ λοιμὸν ζόφῳ ὁδεύοντα.[12]

---

[32] Sic Comp., Ald., Theodoret., Cod. Alex., alii, invito Syro-hex. [33] Euseb. Syrus affert: Σ. ἑδραῖα ποίησον ὑπὲρ ἡμῶν (ܡܫܪܪܬܐ ܥܒܕ ܚܠܦܝܢ).

PSALM. XC. [1] Euseb. Hic et sequens obelus est in Psalt. Gall., non in Syro-hex. [2] Euseb. Syro-hex. affert: ܐ. ܗ. ܕܝܬܒ ܒܡܛܠܠܬܐ ◆, Graece, ni fallor, ὁ καθήμενος ἐν σκέπῃ; nam ἀπόκρυφον constanter sonat ܟܣܝܐ. Etiam Heracleota in *Catena PP. GG.*, T. II, p. 874: Ἀ. Σ. ὑπὸ σκέπην τοῦ ὑψίστου. Nihilominus Aquilam ἐν ἀποκρύφῳ vertisse certo certius est. Cf. ad Psal. lx. 5. [3] Euseb. affert: Ἀ. ἐν σκέπῃ ἱκανοῦ αὐλισθήσεται. Sed Heracleota l. c. testatur Aquilam ἐν σκιᾷ, non ἐν σκέπῃ scripsisse. Neque aliter Cod. 264: Ἀ. ἐν σκιᾷ δὲ τοῦ ἱκανοῦ. [4] Euseb. [5] Idem. [6] Syro-hex. ܐ. ܡܢ ܚܒܠܐ ܕܡܘܬܐ ◆, h. e. vertente Bugato, *a detrimento mortis.* Non tamen crediderim, Syrum in Graeco legisse ἀπὸ ἐπιβουλῆς θανάτου, sed inversionem, quae ei videbatur, verborum Graecorum imitari noluisse. Agellius, nescio quo auctore: "Symmachus λόγον ἐπηρείας, *verbum insultationis;* Aquila λόγον ἐπιβουλῆς, *sermonem insidiosum,* transtulit." Cf. ad Psal. li. 4. lvi. 2. xciii. 20. [7] Nobil. affert: Σ. ἐπηρείας. Theodoret.: τὸν δὲ ταραχώδη λόγον, ἐπηρείας λόγον ὁ Σ. εἴρηκεν. Euthym.: τὸν δὲ ταραχώδη λ. ἐπηρεαστικὸν λ. ἐξέδωκεν ὁ Σ., τουτέστι, συκοφαντικόν. Denique S. Ambros. Offic. I, 4: "Sym. *irritationis verbum* dixit, alii *perturbationis.*" [8] Syro-hex. ܣ. ܒܗܕܡܘܗܝ ܢܛܠܠ ܥܠܝܟ ◆. Cf. ad Psal. lxvii. 14. [9] Agellius. Syro-hex. ܣ. ܕܠܐ ܨܦܬܐ ܬܗܘܐ ◆. Cf. ad Psal. xxxv. 8. [10] Colb. στιχηρῶς scriptus. Montef. περιφορεία (sic) tacite edidit. Particula mitigandi ὡς Symmachum potius quam Aquilam auctorem prodit. [11] Syro-hex. ܐ. ܡܢ ܡܦܘܠܬܐ ܕܠܠܝܐ ◆, h. e. ἀπὸ πτώσεως νυκτός. Sed non credibile est Aquilam Hebraicum פַּחַד per πτῶσις vertisse. Syrum hic, ni fallor, falsa lectio, πτώσεως pro πτοήσεως, in errorem induxit. Graecum πτοεῖσθαι pro פָּחַד posuit idem interpres Psal. xxvi. 1. lii. 6. lxxvii. 53. Cf. Hex. nostra ad Jerem. xxx. 5. [12] Euseb. Syro-hex. vero: ܐ. ܡܢ ܡܚܒܠܢܐ ܒܚܫܘܟܐ ܕܠܐ ܣܗܪܐ ◆, h. e. *ab exterminatore* ἐν σκοτομήνῃ (cf. ad

6. מִקֶּטֶב יָשׁוּד צָהֳרָיִם. *A lue quae vastat meridie.* Ο΄. ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. Ἀ. ἀπὸ δηγμοῦ δαιμονίζοντος μεσημβρίας.[13] Σ. οὐ συγκύρημα δαιμονιῶδες μεσημβρίας.[14]

7. מִצִּדְּךָ. *A latere tuo.* Ο΄. ἐκ τοῦ κλίτους σου. Ἀ. Σ. ἐκ τοῦ πλαγίου σου.[15]

9. כִּי־אַתָּה יְהוָה מַחְסִי עֶלְיוֹן שַׂמְתָּ מְעוֹנֶךָ. *Quoniam tu, Jova, refugium meum es, Altissimum posuisti habitaculum tuum.* Ο΄. ὅτι σὺ, κύριε, ἡ ἐλπίς μου, τὸν ὕψιστον (Ἑβρ. ἐλιὼν[16]) ἔθου καταφυγήν σου. Ἀ. ὅτι σὺ, κύριε, ἐλπίς μου, ὕψιστον ἔθηκας οἰκητήριόν σου.[17] Σ. σὺ γὰρ, κύριε, ἀφοβία μου, ὑψίστην ἔθου τὴν οἴκησίν σου.[18] Ε΄. ὅτι σὺ, κύριε, ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου.[19]

10. לֹא־תְאֻנֶּה אֵלֶיךָ רָעָה וְנֶגַע לֹא־יִקְרַב בְּאָהֳלֶךָ. *Non obtinget tibi malum, et plaga non appropinquabit tabernaculo tuo.* Ο΄. οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου. Ἀ. οὐ μεταχθήσεται πρὸς σὲ κακία, καὶ ἁφὴ οὐκ ἐγγιεῖ ἐν σκέπῃ σου.[20] Σ. οὐ κατισχύσει σου κακὸν, οὐδὲ ἁφὴ ἐγγίσει τῇ σκηνῇ σου.[21]

11. כִּי מַלְאָכָיו יְצַוֶּה־לָּךְ לִשְׁמָרְךָ בְּכָל־דְּרָכֶיךָ. *Quia angelis suis mandabit de te, ut custodiant te in omnibus viis tuis.* Ο΄. ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἀ. ὅτι ἀγγέλοις αὐτοῦ ἐντελεῖται τοῦ φυλάξαι σε ἐν πάσαις ὁδοῖς σου.[22] Σ. ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, φυλάσσειν σε ἐν πάσαις ταῖς ὁδοῖς σου.[23]

12. עַל־כַּפַּיִם יִשָּׂאוּנְךָ פֶּן־תִּגֹּף בָּאֶבֶן רַגְלֶךָ. *Super manibus portabunt te, ne offendat in lapidem pes tuus.* Ο΄. ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἀ. ἐπὶ ταρσῶν ἀροῦσί (σε), μήποτε προσκόψῃ ἐν λίθῳ ὁ πούς σου. Σ. ἐπὶ χειρῶν βαστάσουσί σε, ἵνα μὴ προσπαίσῃ (fort. προσπταίσῃς) ἐν λίθῳ ποδί σου.[24]

13. עַל־שַׁחַל וָפֶתֶן תִּדְרֹךְ תִּרְמֹס כְּפִיר וְתַנִּין. *Super leone et aspide incedes, conculcabis leonem juvenem et draconem.* Ο΄. ἐπ᾿ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Σ. ἐπὶ *suffodientem arenam* καὶ ἀσπίδα πατήσεις, ἕρψεις ἐπὶ λέοντα ὀλοθρεύοντα καὶ δράκοντα.[25]

14. כִּי בִי חָשַׁק. *Quoniam mihi adhaesit.* Ο΄. ὅτι ἐπ᾿ ἐμὲ ἤλπισε. Σ. ὅτι πρὸς μὲ ὥρμησε.[26]

